Μεν. Πενίας ⟨περ⟩ οὐδέν ἐστιν ἀθλιώτερον.
ἄμεινόν ἐστιν ἀποθανεῖν ἢ δυστυχεῖν.
Φιλ. Ἄνθρωπον ὄντα πάντα προσδοκᾶν σε δεῖ.
ὁ δ' ἐκκακήσας ὤλεσε⟨ν⟩ τὰς ἐλπίδας.
Μεν. Ἢ μὴ ποίει τὸ κρυπτὸν ἢ μόνος ποίει,
ἵνα σὺ σεαυτὸν μόνος ἔχῃς συνίστορα.
Φιλ. Μυστήριόν σου μήποτ' εἴπῃς τῷ φίλῳ,
κοὐ μὴ φοβηθῇς αὐτὸν ἐχθρὸν γενόμενον.
Μεν. Ὀργῆς χάριν τὰ κρυπτὰ μὴ ἐκφάνῃς φίλου.
†ἔλπιζε γὰρ αὐτὸν πάλιν γενέσθαι φίλον.†
Φιλ. Ὁ θυμὸς οὔτε ῥῶσιν οὔτε νοῦν ἔχει·
ὀργὴ δὲ δεινὰ δρᾶν ἀναγκάζει βροτούς.
Μεν. Ὅστις γυναικὸς ἀποθανούσης ἐπιγαμεῖ,
ὁ τοιοῦτος ὄντως οὐκ ἐπίστατ' εὐτυχεῖν.
Φιλ. Ἅπαντας ἡμᾶς δεῖ φέρειν τὰς διαβολὰς
ὑπὸ τοῦ λέγοντος, κἂν θέλῃς κἂν μὴ θέλῃς.
Μεν. Πενίαν φέρειν οὐ παντός, ἀλλ' ἀνδρὸς σοφοῦ.
πολλοὶ γὰρ εὐτυχοῦντες οὐ φρονοῦσιν εὖ.
Φιλ. Ἀνὴρ ὁ πλουτῶν ⟨εἰ⟩ μέγα κομπάζων βιοῖ,
ἅπασι δ' ἀνθρώποις ἔχει μῖσος μέγα.